AB

52 14/9,35

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-794796-p0001-9

00r

1387

N

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-794796-p0002-5

2

# EXCERPTA
## E
## POETIS GRAECIS

---

*LIPSIAE*
EX OFFICINA LANGENHEMIA

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-794796-p0003-1

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-794796-p0004-7

# CALLIMACHI HYMNUS IN APOLLINEM

Οἷον ὁ τὠπόλλωνος ἐσείσατο δάφνινος ὅρπηξ,
Οἷα δ' ὅλον τὸ μέλαθρον. Ἑκὰς, ἑκὰς, ὅστις ἀλιτρός.
Καὶ δήπου τὰ θύρετρα καλῷ ποδὶ Φοῖβος ἀράσσει.
Οὐχ ὁράας; Ἐπένευσεν ὁ Δήλιος ἡδύ τι Φοίνιξ
Ἐξαπίνης, ὁ δὲ κύκνος ἐν ἠέρι καλὸν ἀείδει.
Αὐτοὶ νῦν κατοχῆες ἀνακλίνεσθε πυλάων,
Αὐταὶ δὲ κληῖδες· ὁ γὰρ θεὸς οὐκ ἔτι μακράν.
Οἱ δὲ νέοι μολπήν τε καὶ ἐς χορὸν ἐντύνεσθε.
Ὡπόλλων οὐ παντὶ φαείνεται, ἀλλ' ὅτις ἐσθλός·
Ὅς μιν ἴδῃ, μέγας οὗτος· ὃς οὐκ ἴδε, λιτὸς ἐκεῖνος.
Ὀψόμεθ', ὦ Ἑκάεργε, καὶ ἐσσόμεθ' οὔποτε λιτοί.
Μήτε σιωπηλὴν κίθαριν, μήτ' ἄψοφον ἴχνος

Τοῦ Φοίβου τοὺς παῖδας ἔχειν ἐπιδημήσαντος,
Εἰ τελέειν μέλλουσι γάμον, πολιήν τε κερεῖσθαι,
Ἑστήξειν τε τὸ τεῖχος ἐπ' ἀρχαίοισι θεμέθλοις.
Ἠγασάμην τοὺς παῖδας, ἐπεὶ χέλυς οὐκέτ' ἀεργός.
Εὐφημεῖτ' ἀΐοντες ἐπ' Ἀπόλλωνος ἀοιδῇ·
Εὐφημεῖ καὶ πόντος, ὅτε κλείουσιν ἀοιδοὶ
Ἢ κίθαριν, ἢ τόξα, Λυκωρέος ἔντεα Φοίβου.
Οὔτε Θέτις Ἀχιλῆα κινύρεται αἴλινα μήτηρ,
Ὁππότ' Ἰὴ Παιῆον Ἰὴ Παιῆον ἀκούσῃ.
Καὶ μὲν ὁ δακρυόεις ἀναβάλλεται ἄλγεα πέτρος,
Ὅστις ἐνὶ Φρυγίῃ διερὸς λίθος ἐστήρικται,
Μάρμαρον ἀντὶ γυναικὸς, ὀϊζυρόν τι χανούσης.
Ἰὴ ἰὴ φθέγγεσθε. Κακὸν μακάρεσσιν ἐρίζειν.
Ὃς μάχεται μακάρεσσιν, ἐμῷ βασιλῆϊ μάχοιτο.
Ὅστις ἐμῷ βασιλῆϊ, καὶ Ἀπόλλωνι μάχοιτο.
Τὸν χορὸν ὠ'πόλλων, ὅτι οἱ κατὰ θυμὸν ἀείδει,
Τιμήσει· δύναται γὰρ, ἐπεὶ Διῒ δέξιος ἧσαι.
Οὐδ' ὁ χορὸς τὸν Φοῖβον ἐφ' ἓν μόνον ἦμαρ ἀείσει·
Ἔστι γὰρ εὔϋμνος, τίς ἂν οὐ ῥέα Φοῖβον ἀείδοι;

Χρύσεα

18 Εὐφημεῖ, ἡσυχάζει, γαληνιᾷ.

Χρύσεα τὠπόλλωνι τό τ᾽ ἐνδυτὸν, ἥ τ᾽ ἐπιπορπὶς,
Ἥ τε λύρη, τό τ᾽ ἄεμμα τὸ Λύκτιον, ἥ τε φαρέτρη,
Χρύσεα καὶ τὰ πέδιλα· πολύχρυσος γὰρ Ἀπόλλων,
Καί τε πολυκτέανος· Πυθῶνί κε τεκμήραιο.
Καί κεν ἀεὶ καλὸς καὶ ἀεὶ νέος· οὔποτε Φοίβου
Θηλείαις, οὐδ᾽ ὅσσον, ἐπὶ χνόος ἦλθε παρειαῖς.
Αἱ δὲ κόμαι θυόεντα πέδῳ λείβουσιν ἔλαια.
Οὐ λίπος Ἀπόλλωνος ἀποστάζουσιν ἔθειραι,
Ἀλλ᾽ αὐτὴν πανάκειαν· ἐν ἄστει δ᾽, ᾧ κεν ἐκεῖναι
Πρῶκες ἔραζε πέσωσιν, ἀκήρια πάντ᾽ ἐγένοντο.
Τέχνῃ δ᾽ ἀμφιλαφὴς οὔτις τόσον, ὅσσον Ἀπόλλων.
Κεῖνος ὀϊστευτὴν ἔλαχ᾽ ἀνέρα, κεῖνος ἀοιδόν·
Φοίβῳ γὰρ καὶ τόξον ἐπιτρέπεται καὶ ἀοιδή·
Κείνου δὲ θριαὶ καὶ μάντιες· ἐκ δέ νυ Φοίβου
Ἰητροὶ δεδάασιν ἀνάβλησιν θανάτοιο.
Φοῖβον καὶ Νόμιον κικλήσκομεν ἐξέτι κείνου,
Ἐξότ᾽ ἐπ᾽ Ἀμφρυσῷ ζευγήτιδας ἔτρεφεν ἵππους,
Ἠϊθέου ὑπ᾽ ἔρωτι κεκαυμένος Ἀδμήτοιο.
Ῥεῖά κε βουβόσιον τελέθοι πλέον, οὐδέ κεν αἶγες



40 πανάκειαν, τὴν ἴασιν.

Δεύοιντο βρεφέων ἐπιμηλάδες, ᾗσιν Ἀπόλλων
Βοσκομένης ὀφθαλμὸν ἐπήγαγεν, οὐδ' ἀγάλακτες
Οἶες, οὐδ' ἄκυθοι, πᾶσαι δέ κεν εἶεν ὕπαρνοι,
Ἡ δέ κε μουνοτόκος διδυματόκος αἶψα γένοιτο.
Φοίβῳ δ' ἑσπόμενοι πόλιας διεμετρήσαντο
Ἄνθρωποι· Φοῖβος γὰρ ἀεὶ πολίεσσι φιληδεῖ
Κτιζομέναις, αὐτὸς δὲ θεμείλια Φοῖβος ὑφαίνει.
Τετραέτης τὰ πρῶτα θεμείλια Φοῖβος ἔπηξε
Καλῇ ἐν Ὀρτυγίῃ περιηγέος ἔγγυθι λίμνης.
Ἄρτεμις ἀγρώσσουσα καρήατα συνεχὲς αἰγῶν
Κυνθιάδων φορέεσκεν, ὁ δ' ἔπλεκε βωμὸν Ἀπόλλων.
Δείματο μὲν κεράεσσιν ἐδέθλια, πῆξε δὲ βωμὸν
Ἐκ κεράων, κεραοὺς δὲ πέριξ ὑπεβάλλετο τοίχους.
Ὧδ' ἔμαθεν τὰ πρῶτα θεμείλια Φοῖβος ἐγείρειν.
Φοῖβος καὶ βαθύγειον ἐμὴν πόλιν ἔφρασε Βάττῳ,
Καὶ Λιβύην ἐσιόντι κόραξ ἡγήσατο λαῷ,
Δεξιὸς οἰκιστήρ, καὶ ὤμοσε, τείχεα δώσειν
Ἡμετέροις βασιλεῦσιν· ἀεὶ δ' εὔορκος Ἀπόλλων.
Ὦ 'πολλον, πολλοί σε Βοηδρόμιον καλέουσι,
Πολλοὶ δὲ Κλάριον· πάντη δέ τοι οὔνομα πουλύ·
Αὐτὰρ ἐγὼ Καρνεῖον, ἐμοὶ πατρώϊον οὕτω.

Σπάρτη

59 περιηγέος, κυκλοτεροῦς.

Σπάρτη τοι, Καρνεῖε, τόδε πρώτιστον ἔδεθλον,
Δεύτερον αὖ Θήρη, τρίτατόν γε μὲν ἄστυ Κυρήνης.
Ἐκ μέν σε Σπάρτης ἕκτον γένος Οἰδιπόδαο
Ἤγαγε Θηραίην ἐς ἀπόκτισιν· ἐκ δέ σε Θήρης
Οὖλος Ἀριστοτέλης Ἀσβυστίδι πάρθετο γαίῃ,
Δεῖμε δέ τοι μάλα καλὸν ἀνάκτορον, ἐν δὲ πόληϊ
Θῆκε τελεσφορίην ἐπετήσιον, ᾗ ἐνὶ πολλοὶ
Ὑστάτιον πίπτουσιν ἐπ' ἰσχίον, ὦ ἄνα, ταῦροι.
Ἰὴ ἰὴ Καρνεῖε πολύλλιτε, σεῖο δὲ βωμοὶ
Ἄνθεα μὲν φορέουσιν ἐν εἴαρι, τόσσα περ ὧραι
Ποικίλ' ἀγινεῦσι, ζεφύρου πνείοντος ἐέρσην·
Χείματι δὲ κρόκον ἡδύν. Ἀεὶ δέ τοι ἀέναον πῦρ,
Οὐδέποτε χθιζὸν περιβόσκεται ἄνθρακα τέφρη.
Ἦ ῥ' ἐχάρη μέγα Φοῖβος, ὅτε ζωστῆρες Ἐνυοῦς
Ἀνέρες ὠρχήσαντο μετὰ ξανθῇσι Λιβύσσης,
Τέθμιαι εὖτέ σφιν Καρνειάδες ἤλυθον ὧραι.
Οἱ δ' οὔπω πηγῆς Κύρης ἐδύναντο πελάσσαι
Δωριέες, πυκινὴν δὲ νάπαις Ἄζιλιν ἔναιον.
Τοὺς μὲν ἄναξ ἴδεν αὐτὸς, ἑῇ δ' ἐπεδείξατο νύμφῃ,
Στὰς ἐπὶ Μυρτούσης κερατώδεος, ᾗχι λέοντα
Ὑψηῒς



74 Οἰδίπους, οὗ Πολυνείκης, οὗ Θέρσανδρος, οὗ Αὐτεσίων, οὗ Τισαμενὸς, οὗ Θηράς.
78 τελεσφ. ἑορτὴν, θυσίαν.
87 τέθμιαι, νόμιμοι, ὡρισμέναι.

Ὑψηῒς κατέπεφνε, βοῶν σίνιν Εὐρυπύλοιο.
Οὐ κείνου χορὸν εἶδε θεώτερον ἄλλον Ἀπόλλων,
Ουδὲ πόλει τόσ᾽ ἔνειμεν ὀφέλσιμα, τόσσα Κυρήνη,
Μνωόμενος προτέρης ἁρπακτύος· οὐδὲ μὲν αὐτοὶ
Βαττιάδαι Φοίβοιο πλέον θεὸν ἄλλον ἔτισαν.
Ἰὴ ἰὴ παιῆον ἀκούομεν, οὕνεκα τοῦτο
Δελφός τοι πρώτιστον ἐφύμνιον εὕρετο λαὸς,
Ἦμος ἑκηβολίην χρυσέων ἐπεδείκνυτο τόξων.
Πυθώ τοι κατιόντι συνήντετο δαιμόνιος θὴρ,
Αἰνὸς ὄφις. Τὸν μὲν σὺ κατήναρες, ἄλλον ἐπ᾽ ἄλλῳ
Βάλλων ὠκὺν ὀϊστὸν· ἐπηΰτησε δὲ λαὸς,
Ἰὴ ἰὴ παιῆον, ἵει βέλος· εὐθύ σε μήτηρ
Γείνατ᾽ ἀοσσητῆρα. Τό δ᾽ ἐξέτι κεῖθεν ἀείδη.
Ὁ Φθόνος Ἀπόλλωνος ἐπ᾽ οὔατα λάθριος εἶπεν·
Οὐκ ἄγαμαι τὸν ἀοιδὸν, ὃς οὐδ᾽, ὅσα πόντος, ἀείδει.
Τὸν Φθόνον ὡπόλλων ποδί τ᾽ ἤλασεν, ὧδέ τ᾽ ἔειπεν·
Ἀσσυρίου ποταμοῖο μέγας ῥόος, ἀλλὰ τὰ πολλὰ
Λύματα γῆς καὶ πολλὸν ἐφ᾽ ὕδατι συρφετὸν ἕλκει
Δηοῖ δ᾽ οὐκ ἀπὸ παντὸς ὕδωρ φορέουσι Μέλισσαι,
Ἀλλ᾽ ἥτις καθαρή τε καὶ ἀχράαντος ἀνέρπει
Πίδακος ἐξ ἱερῆς ὀλίγη λιβὰς, ἄκρον ἄωτον.
Χαῖρε ἄναξ. ὁ δὲ Μῶμος, ἵν᾽ ὁ Φθόρος, ἔνθα νέοιτο.

THEO-

# THEOCRITI IDYLLIVM VIII

## ΒΟΥΚΟΛΙΑΣΤΑΙ

Δάφνις Μενάλκας Αἰπόλος

Δάφνιδι τῷ χαρίεντι συνήντετο βουκολέοντι,
Μᾶλα νέμων (ὡς φαντὶ) κατ' ὤρεα μακρὰ Μενάλκας.
Ἄμφω τώγ' ἤτην πυῤῥοτρίχω, ἄμφω ἀνάβω,
Ἄμφω συρίσδεν δεδαημένω, ἄμφω ἀείδεν.
Πρᾶτος δ' ὦν ποτὶ Δάφνιν ἰδὼν ἀγόρευες Μενάλκας.

Μ Μυκητᾶν ἐπίουρε βοῶν, Δάφνι, λῇς μοι ἀεῖσαι;
Φαμὶ τὺ νικασεῖν, ὅσσον θέλω, αὐτὸς ἀείδων.
Τὸν δ' ἄρα χὠ Δάφνις τοιῷδ' ἀπαμείβετο μύθῳ·

Δ Ποιμὰν εἰροπόκων οἴων, συρικτὰ Μενάλκα,
Οὔποτε νικασεῖς μ', οὐδ' εἴτι πάθοις τὺ γ' ἀείδων.

Μ Χρῇσδεις δ' ὦν ἐσιδεῖν; χρῇσδεις καταθεῖναι ἄεθλον;



3 ἄνηβοι, ἀτελεῖς ἔτι τὴν ἡλικίαν.
6 ἐπίουρε, ἐπίσκοπε, φύλαξ.

Δ Χρήσδω τοῦτ' ἐσιδεῖν, χρήσδω καταθεῖναι ἄεθλον.
M Ἀλλὰ τί θησεύμεσθ', ὅ κεν ἁμῖν ἄρκιον εἴη;
Δ Μόσχον ἐγὼ θησῶ, τὺ δὲ θὲς γ' ἰσομάτορα ἀμνόν.
M Οὐ θησῶ πόκα γ' ἀμνόν· ἐπεὶ χαλεπός θ' ὁ πατήρ μευ,
Χἀ μάτηρ· τὰ δὲ μᾶλα ποθέσπερα πάντ' ἀριθμεῦντι.
Δ Ἀλλὰ τί μὰν θησεῖς; τί δὲ τὸ πλέον ἕξει ὁ νικῶν;
M Σύριγγ' ἃν ἐποίησα καλὰν ἐγὼ ἐννεάφωνον,
Λευκὸν καρὸν ἔχοισαν, ἴσον κάτω, ἶσον ἄνωθεν·
Ταύτην κατθείην· τὰ δὲ τῶ πατρὸς οὐ καταθησῶ.
Δ Ἦ μάν τοι κἠγὼ σύριγγ' ἔχω ἐννεάφωνον,
Λευκὸν καρὸν ἔχοισαν, ἴσον κάτω, ἶσον ἄνωθεν.
Πρώαν νιν συνέπαξ', ἔτι καὶ τὸν δάκτυλον ἀλγῶ
Τοῦτον, ἐπεὶ κάλαμός με διασχισθεὶς διέτμαξεν.
Ἀλλὰ τίς ἄμμε κρινεῖ; τίς ἐπάκοος ἔσσεται ἁμῶν;
M Τῆνόν πως ἐνταῦθα τὸν αἰπόλον ἢν καλέσωμες,
Ὧι ποτὶ ταῖς ἐρίφοις ὁ κύων ὁ φάλαρος ὑλακτεῖ.

Χὡ μὲν παῖδες ἄϋσαν, ὁ δ' αἰπόλος ἤνθ' ἐπακοῦσαι·
Χὡ μὲν παῖδες ἄειδον, ὁ δ' αἰπόλος ἤθελε κρῖναι.
Πρᾶτος δ' ὦν ἄειδε λαχὼν ἰΰκτὰ Μενάλκας,
Εἶτα δ' ἀμοιβαίην ὑπελάμβανε Δάφνις ἀοιδὰν
Βωκολικάν· οὕτω δὲ Μενάλκας ἄρξατο πρᾶτος·
Μ. Ἄγκεα καὶ ποταμοὶ, θεῖον γένος, αἴ τι Μενάλκας
Πῆ ποχ' ὁ συρικτὰς προσφιλὲς ᾆσε μέλος,
Βόσκοιτ' ἐκ ψυχᾶς τὰς ἀμνίδας· ἢν δέ ποκ' ἔνθῃ
Δάφνις ἔχων δαμάλας, μηδὲν ἔλασσον ἔχοι.
Δ. Κρᾶναι καὶ βοτάναι, γλυκερὸν φυτὸν, αἴπερ ὁμοῖον
Μουσίσδοι Δάφνις ταῖσιν ἀηδονίσι,
Τοῦτο τὸ βουκόλιον πιαίνετε· κἤν τι Μενάλκας
Τῇδ' ἀγάγοι, χαίρων ἄφθονα πάντα νέμοι.
Μ. Παντᾷ ἔαρ, παντᾷ δὲ νομοὶ, παντᾷ δὲ γάλακτος
Οὔθατα πλήθουσιν, καὶ τὰ νέα τρέφεται,

Ἔνθ'

30 ἰΰκτὴς, συρικτὴς, λιγύφθογγος.

Ἔνθ' ἁ καλὰ παῖς ἐπινίσσεται· αἱ δ' ἂν ἀφέρπῃ,
Χὠ ποιμὰν ξηρὸς τηνόθι, χαἱ βοτάναι.
Δ Ἔνθ' ὄϊς, ἔνθ' αἶγες διδυματόχοι, ἔνθα μέλισσαι
Σμάνεα πληροῦσιν, καὶ δρύες ὑψίτεραι,
Ἔνθ' ὁ καλὸς Μίλων βαίνει ποσίν· αἱ δ' ἂν ἀφέρπῃ,
Χὠ τὰς βῶς βόσκων, χαἱ βόες αὐότεραι.
Μ Ὦ τράγε, τᾶν λευκᾶν αἰγᾶν ἄνερ, ὦ βάθος ὕλας
Μυρίον, ὦ σιμαὶ δεῦτ' ἐφ' ὕδωρ ἔριφοι·
Ἐν τήνῳ γὰρ τῆνος. Ἴθ', ὦ κόλε, καὶ λέγε Μίλῳ,
Ὡς Πρωτεὺς φώκας, καὶ θεὸς ὤν, ἔνεμε.
Δ Μή μοι γᾶν Πέλοπος, μή μοι χρύσεια τάλαντα
Εἴη ἔχειν, μηδὲ πρόσθε θέειν ἀνέμων·
Ἀλλ' ὑπὸ τᾷ πέτρᾳ τᾷδ' ᾄσομαι, ἀγκὰς ἔχων τὺ,
Σύννομα μᾶλ' ἐσορῶν τὰν Σικελὰν ἐς ἅλα.
Μ Δένδρεσι μὲν χειμὼν φοβερὸν κακὸν, ὕδασι δ' αὐχμὸς,
Ὀρνι-

51 κόλος λέγεται ὁ μὴ ἔχων κέρατα.
53 Κροισοῖο τάλαντα. Pierſonus. χρυσεῖ' Ἀταλάντας. Reiskius.
57 οὔδασι in vett. edd. pro ὕδασι. Sed Valkenarius οὔθασι correxit.

Ὄρνισιν δ' ὕσπλαγξ, ἀγροτέροις δὲ λίνα,
Ἀνδρὶ δὲ παρθενικᾶς ἁπαλᾶς πόθος. ὦ πάτερ, ὦ Ζεῦ,
Οὐ μόνος ἠράσθην· καὶ τὺ γυναικοφίλας.
Ταῦτα μὲν ὦν δι' ἀμοιβαίων οἱ παῖδες ἄεισαν·
Τὰν πυμάταν δ' ᾠδὰν οὕτως ἐξᾶρχε Μενάλκας.
M Φείδευ τῶν ἐρίφων, φείδευ, λύκε, τᾶν τοκάδων μευ,
Μηδ' ἀδίκει μ', ὅτι μικκὸς ἐὼν πολλαῖσιν ὁμαρτῶ.
Ὦ Λάμπουρε κύων, οὕτω βαθὺς ὕπνος ἔχει τύ;
Οὐ χρὴ κοιμᾶσθαι βαθέως σὺν παιδὶ νέμοντα.
Ταὶ δ' ὄϊες, μηδ' ὔμμες ὀκνεῖθ' ἁπαλᾶς κορέσασθαι
Ποίας, οὔτι καμεῖσθ', ὅκκα πάλιν ἅδε φύηται.
Σίττα, νέμεσθε, νέμεσθε· τὰ δ' οὔθατα πλήσατε πᾶσαι,
Ὡς τὸ μὲν ὦρνες ἔχωντι, τὸ δ' ἐς ταλάρως ἀπόθωμαι.
Δεύτερος αὖ Δάφνις λιγυρῶς ἀνεβάλλετ' ἀείδεν·
Δ Κἀμ' ἐκ τῶ ἄντρω σύνοφρυς κόρα ἐχθὲς ἰδοῖσα,

Τὰς

72 σύνοφρυς, εὐόφθαλμος ἢ συνετή.

Τὰς δαμάλας παρελῶντα, καλὸν καλὸν ἦμες ἔφασκεν.
Οὐ μὰν οὐδὲ λόγον ἐκρίθην ἄπο τὸν πικρὸν αὐτᾷ,
Ἀλλὰ κάτω βλέψας τὰν ἁμετέραν ὁδὸν εἷρπον.
Ἁδεῖ' ἁ φωνὰ τᾶς πόρτιος, ἁδὺ τὸ πνεῦμα,
Ἁδὺ δὲ χὠ μόσχος γαρύεται, ἁδὺ δὲ χἀ βῶς,
Ἁδὺ δὲ τῶ θέρεος παρ' ὕδωρ ῥέον αἰθριοκοιτεῖν.
Τᾷ δρυῒ ταὶ βάλανοι κόσμος, τᾷ μαλίδι μᾶλα,
Τᾷ βοῒ δ' ὁ μόσχος, τῷ βωκόλῳ αἱ βόες αὐταί.
Ὣς οἱ παῖδες ἄεισαν· ὁ δ' αἰπόλος ὧδ' ἀγόρευεν·
AI Ἁδύ τι τὸ στόμα τοι, καὶ ἐφίμερος, ὦ Δάφνι, φωνά.
Κρέσσον μελπομένω τεῦ ἀκούεμεν, ἢ μέλι λείχειν.
Λάσδεο τὰς σύριγγας· ἐνίκησας γὰρ ἀείδων.
Αἰ δέ τι λῇς με καὶ αὐτὸν ἅμ' αἰπολέοντα διδάξαι,
Τήναν τὰν μιτύλαν δωσῶ τὰ δίδακτρά τοι αἶγα,
Ἅτις ὑπὲρ κεφαλᾶς αἰεὶ τὸν ἀμολγέα πληροῖ.

Ὡς

Ὡς μὲν ὁ παῖς ἐχάρη, καὶ ἀνήλατο, καὶ
πλατάγησε
Νικήσας, οὕτως ἐπὶ ματέρα νεβρὸς ἅλοιτο·
Ὡς δὲ κατεσμύχθη καὶ ἀνετράπετο φρένα θω
λύπᾳ
Ὥτερος, οὕτω καὶ νύμφα γαμεθεῖς' ἀκά-
χοιτο.
Κἀκ' τούτω Δάφνις παρὰ ποιμέσι πρᾶ-
τος ἔγεντο,
Καὶ νύμφαν, ἄκρηβος ἐὼν ἔτι, Ναΐδα
γᾶμεν.

---

THEO-

# THEOCRITI IDYLLIUM XXII

## ΔΙΟΣΚΟΥΡΟΙ

Ὑμνέομες Λήδας τε καὶ αἰγιόχω Διὸς υἱὼ,
Κάστορα καὶ φοβερὸν Πολυδεύκεα πὺξ ἐρεθίζεν,
Χεῖρας ἐπιζεύξαντα μέσοις βοέοισιν ἱμᾶσιν.
Ὑμνέομες καὶ δὶς καὶ τὸ τρίτον ἄρσενα τέκνα
Κούρης Θεστιάδος, Λακεδαιμονίους δύ᾽ ἀδελφοὺς,
Ἀνθρώπων σωτῆρας, ἐπὶ ξυροῦ ἤδη ἐόντων,
Ἵππων θ᾽, αἱματόεντα ταρασσομένων καθ᾽ ὅμιλον,
Ναῶν θ᾽, αἳ δύνοντα καὶ οὐρανοῦ ἐξανιόντα
Ἄστρα βιαζόμεναι χαλεποῖς ἐνέκυρσαν ἀήταις.
Οἱ δὲ, σφέων κατὰ πρύμναν ἀείραντες μέγα κῦμα,
Ἠὲ καὶ ἐκ πρῴραθεν, ἢ ὅππα θυμὸς ἑκάστου,
Εἰς κοίλαν ἔῤῥιψαν, ἀνέῤῥηξαν δ᾽ ἄρα τοίχους
Ἀμφοτέρους· κρέμαται δὲ σὺν ἱστίῳ ἄρμενα πάντα,
Εἰκῆ ἀποκλασθέντα· πολὺς δ᾽ ἐξ οὐρανοῦ ὄμβρος
Νυκτὸς ἐφερπύσας· παταγεῖ δ᾽ εὐρεῖα θάλασσα,
Κοπτομένη πνοιαῖς τε καὶ ἀῤῥήκτοισι χαλάζαις.
Ἀλλ᾽ ἔμπης ὑμεῖς τε καὶ ἐκ βυθοῦ ἕλκετε νᾶας

Αὐτοῖ-

Αὐτοῖσιν ναύταισιν, ὀϊομένοις θανέεσθαι,
Αἶψα δ' ἀπολήγοντ' ἄνεμοι, λιπαρὰ δὲ γαλάνα
Ἀμπέλαγος, νεφέλαι δὲ διέδραμον ἄλλυδις ἄλλαι,
Ἐκ δ' ἄρκτοι τ' ἐφάνησαν, ὄνων τ' ἀνὰ μέσσον ἀμαυρὴ
Φάτνη, σημαίνοισα τὰ πρὸς πλόον εὔδια πάντα.
Ὦ ἄμφω θνατοῖσι βοηθόοι, ὦ φίλοι ἄμφω,
Ἱππῆες, κιθαρισαὶ, ἀεθλητῆρες, ἀοιδοὶ,
Κάστορος ἢ πρώτου Πολυδεύκεος ἄρξομ' ἀείδειν;
Ἀμφοτέρους ὑμνέων, Πολυδεύκεα πρῶτον ἀείσω.
Ἡ μὲν ἄρα προφυγοῦσα πέτρας εἰς ἓν ξυνιούσας
Ἀργὼ, καὶ νιφόεντος ἀταρτηρὸν στόμα Πόντου,
Βέβρυκας εἰσαφίκανε, θεῶν φίλα τέκνα φέροισα.
Ἔνθα μιᾶς πολλοὶ κατὰ κλίμακος ἀμφοτέρων ἐκ
Τοίχων ἄνδρες ἔβαινον Ἰησονίης ἀπὸ νηός.
Ἐκβάντες δ' ἐπὶ θῖνα βαθὺν καὶ ὑπήνεμον ἀκτὴν,
Εὐνάς τ' ἐστόρνυντο, πυρειά τε χερσὶν ἐνώμων.
Κάστωρ δ' αἰολόπωλος ὅ τ' οἰνωπὸς Πολυδεύκης,
Ἄμφω ἐρημάζεσκον, ἀποπλαγχθέντες ἑταίρων,
Παντοίην δ' ἐν ὄρει θηεύμενοι ἄγριον ὕλην,
Εὗρον ἀέναον κράναν ὑπὸ λισσάδι πέτρῃ,

Ὕδατι πεπληθυῖαν ἀκηράτῳ· αἱ δ᾽ ὑπένερθεν
Ἄλλαι κρυστάλλῳ ἠδ᾽ ἀργύρῳ ἰνδάλλοντο
Ἐκ βυθοῦ· ὑψηλαὶ δὲ πεφύκεσαν ἀγχόθι πεῦκαι,
Λεῦκαί τε, πλάτανοί τε, καὶ ἀκρόκομοι κυπάρισσοι,
Ἄνθεά τ᾽ εὐώδη, λασίαις φίλα ἔργα μελίσσαις,
Ὅσσ᾽ ἔαρος λήγοντος ἐπιβρύει ἀν᾽ λειμῶνας.
Ἔνθα δ᾽ ἀνὴρ ὑπέροπλος ἐνήμενος ἐνδιάασκε,
Δεινὸς ἰδεῖν, σκληραῖσι τεθλασμένος οὔατα πυγμαῖς·
Στήθεα δ᾽ ἐσφαίρωτο πελώρια, καὶ πλατὺ νῶτον,
Σαρκὶ σιδαρείῃ, σφυρήλατος οἷα κολοσσός·
Ἐν δὲ μύες στερεοῖσι βραχίοσιν ἄκρον ὑπ᾽ ὦμον
Ἕστασαν, ἠΰτε πέτροι ὀλοοίτροχοι, οὕστε κυλίνδων
Χειμάῤῥους ποταμὸς μεγάλαις περιέξεσε δίναις.
Αὐτὰρ ὑπὲρ νώτοιο καὶ αὐχένος ἠωρεῖτο
Ἄκρων δέρμα λέοντος ἀφημμένον ἐκ ποδεώνων.
Τὸν πρότερος προσέειπεν ἀεθλοφόρος Πολυδεύκης.

P. Χαῖρε

39 Λάλλαι. Coniectura Ruhnkenii Auctar. ad Hesych. T. 2, p. 420.

Ρ. Χαῖρε ξεῖν', ὅστ' ἐσσί· τίνες βροτοί, ὧν ὅδε χῶρος;
Α. Χαίρω πῶς, ὅτε τ' ἄνδρας ὁρῶ, τοὺς μήποτ' ὄπωπα;
Ρ. Θάρσει· μήτ' ἀδίκους, μήτ' ἐξ ἀδίκων φάθι λεύσσειν.
Α. Θαρσέω· κοὐκ ἐκ σοῦ με διδάσκεσθαι τόδ' ἔοικεν.
Ρ. Ἄγριος εἶ, πρὸς πάντα παλίγκοτος, ἢ ὑπερόπτης.
Α. Τοιόσδ', οἷος ὁρᾷς· τῆς σῆς γε μὲν οὐκ ἐπιβαίνω.
Ρ. Ἔλθοις, καὶ ξενίων γε τυχὼν πάλιν οἴκαδ' ἱκάνοις.
Α. Μήτε σύ με ξείνιζε· τά τ' ἐξ ἐμεῦ οὐκ ἐν ἑτοίμῳ.
Ρ. Δαιμόνι', οὐδ' ἂν τοῦ γε πιεῖν ὕδατος σύ γε δοίης;
Α. Γνώσεαι, εἴ σε δίψος ἀνειμένα χείλεα τέρσει.
Ρ. Ἄργυρος, ἢ τίς ὁ μισθὸς, ἐρεῖς, ᾧ κέν σε πίθοιμεν;
Α. Εἷς ἑνὶ χεῖρας ἄειρον, ἐναντίος ἀνδρὶ καταστὰς
Πυγμάχος, ἢ καὶ ποσσὶ θένων σκέλος· ἄμματα δ' ὀρθὰ
Πὺξ διατεινάμενος, σφετέρης μὴ φείδεο τέχνης.
Ρ. Τίς γὰρ, ὅτῳ χεῖρας καὶ ἐμοὺς συνερείσω ἱμάντας;

Α. Ἐγγὺς ὁρᾷς. οὐ γύννις ἐὼν κεκλήσεθ' ὁ πύκτης,
Ρ. Ἦ καὶ ἄεθλον ἑτοῖμον, ἐφ' ᾧ δηρισσόμεθ' ἄμφω;
Α. Σὸς μὲν ἐγὼ, σὺ δ' ἐμὸς κεκλήσεαι, εἴ κε κρατήσω.
Ρ. Ὀρνίχων φοινικολόφων τοιοίδε κυδοιμοί.
Α. Εἴτ' οὖν ὀρνίχεσσιν ἐοικότες, εἴτε λέουσι
Γεινόμεθ', οὐκ ἄλλῳ γε μαχεσσαίμεσθ' ἐπ' ἀέθλῳ.
Ἦ ῥ' Ἄμυκος, καὶ κόχλον ἑλὼν μυκάσατο κοῖλον.
Οἱ δὲ θοῶς συνάγερθεν ὑπὸ σκιερὰς πλατανίστω,
Κόχλω φυσαθέντος, ἀεὶ Βέβρυκες κομόωντες.
Ὣς δ' αὔτως ἥρωας ἰὼν ἐκαλέσσατο πάντας
Μαγνήσσης ἀπὸ ναὸς ὑπείροχος ἐν δαΐ Κάστωρ.
Οἱ δ', ἐπεὶ οὖν σπείραισιν ἐκαρτύναντο βοείαις
Χεῖρας, καὶ περὶ γυῖα μακροὺς εἵλιξαν ἱμάντας,
Ἐς μέσσον σύναγον, φόνον ἀλλάλοισι πνέοντες.
Ἔνθα πολύς σφισι μόχθος ἐπειγομένοισιν ἐτύχθη,
Ὁππότερος κατὰ νῶτα λάβῃ φάος ἠελίοιο.

Ἀλλ' ἰδρείῃ μέγαν ἄνδρα παρήλυθες, ὦ Πολύδευκες·
Βάλλετο δ' ἀκτίνεσσιν ἅπαν Ἀμύκοιο πρόσωπον·
Αὐτὰρ ὅγ' ἐν θυμῷ κεχολωμένος ἵετο πρόσσω,
Χερσὶ τιτυσκόμενος· τοῦ δ' ἄκρον τύψε γένειον
Τυνδαρίδης ἐπιόντος, ὀρίνθη δὲ πλέον ἢ πρὶν,
Σὺν δὲ μάχαν ἐτίναξε, πολὺς δ' ἐπέκειτο νενευκὼς
Ἐς γαῖαν. Βέβρυκες δ' ἐπαΰτεον· ἐκ δ' ἑτέρωθεν
Ἥρωες κρατερὸν Πολυδεύκεα θαρσύνεσκον,
Δειδιότες, μή πώς μιν ἐπιβρίσας δαμάσειε
Χώρῳ ἐνὶ στεινῷ Τιτυῷ ἐναλίγκιος ἀνήρ.
Ἦτοι ὅγ' ἔνθα καὶ ἔνθα παριστάμενος Διὸς υἱὸς
Ἀμφοτέραισιν ἄμυσσεν ἀμοιβαδὶς, ἔσχεθε δ' ὁρμῆς
Παῖδα Ποσειδάωνος, ὑπερφίαλόν περ ἐόντα.
Ἔστη δὲ πληγαῖς μεθύων, ἐκ δ' ἔπτυσεν αἷμα
Φοίνιον· οἱ δ' ἅμα πάντες ἀριστῆες κελάδησαν,
Ὡς ἴδον ἕλκεα λυγρὰ περὶ στόμα τε γναθμούς τε.
Ὄμματα δ' οἰδήσαντος ἀπεστείνωτο προσώπου.
Τὸν μὲν ἄναξ ἐτάραξεν, ἐτώσια χερσὶ προδεικνὺς
Πάντοθεν· ἀλλ' ὅτε δή μιν ἀμηχανέοντ' ἐνόησε,
Μέσσας ῥινὸς ὕπερθε κατ' ὀφρύος ἤλασε πυγμὴν,

Πᾶν δ' ἀπέσυρε μέτωπον ἐς ὀστέον· αὐτὰρ ὁ πλαγείς,
Ὕπτιος ἐν φύλλοισι τεθαλόσιν ἐξετανύσθη.
Ἔνθα μάχη δριμεῖα πάλιν γένετ' ὀρθωθέντος·
Ἀλλάλους δ' ὄλεκον στερεοῖς θείνοντες ἱμᾶσιν.
Ἀλλ' ὁ μὲν ἐς στῆθός τε καὶ ἔξω χεῖρας ἐνώμα
Αὐχένος ἀρχαγὸς Βεβρύκων· ὁ δ' ἀεικέσι πλαγαῖς
Πᾶν συνέφυρε πρόσωπον ἀνίκατος Πολυδεύκης.
Σάρκες δ' αἱ μὲν ἱδρῶτι συνίζανον· ἐκ μεγάλου δὲ
Αἶψ' ὀλίγος γένετ' ἀνδρός· ὁ δ' αἰεὶ μάσσονα γυῖα
Ἁπτόμενος φορέεσκε πόνου, καὶ χροιῇ ἀμείνων.
Πῶς γὰρ δὴ Διὸς υἱὸς ἀδηφάγον ἄνδρα καθεῖλεν,
Εἰπὲ θεά· σὺ γὰρ οἶσθα· ἐγὼ δ' ἑτέρων ὑποφήτης
Φθέγξομαι, ὡς ἐθέλεις σύ, καὶ ὅππως τοι φίλον αὐτῇ.
Ἦτοι ὅγε ῥέξαι τι λιλαιόμενος μέγα ἔργον,
Σκαιῇ μὲν σκαιὴν Πολυδεύκεος ἔλλαβε χεῖρα,
Δοχμὸς ἀπὸ προβολῆς κλινθείς· ἑτέρᾳ δ' ἐπιβαίνων,
Δεξιτερῆς ἤνεγκεν ἀπαὶ λαγόνος πλατὺ γυῖον,
Καί κε τυχὼν ἔβλαψεν Ἀμυκλαίων βασιλῆα·

Ἀλλ' ὅγ' ὑπεξανέδυ κεφαλῇ, στιβαρᾷ δ' ἄρα χειρὶ
Πλᾶξεν ὑπὸ σκαιὸν κρόταφον, καὶ ἐπέμπεσεν ὤμῳ,
Ἐκ δὲ χύθη μέλαν αἷμα θοῶς κροτάφοιο χανόντος.
Λαιῇ δὲ στόμα τύψε, πυκνοὶ δ' ἀράβησαν ὀδόντες.
Αἰεὶ δ' ὀξυτέρῳ πιτύλῳ δαλεῖτο πρόσωπον,
Μέχρι συνηλοίησε παρήϊα· πᾶς δ' ἐπὶ γαῖαν
Κεῖτ' ἀλλοφρονέων, καὶ ἀνέσχεθε, νεῖκος ἀπαυδῶν,
Ἀμφοτέρας ἅμα χεῖρας, ἐπεὶ θανάτου σχεδὸν ἦεν.
Τὸν μὲν ἄρα, κρατέων περ, ἀτάσθαλον οὐδὲν ἔρεξας,
Ὦ πύκτα Πολύδευκες, ὄμοσσε δέ τοι μέγαν ὅρκον,
Ὃν πατέρ' ἐκ πόντοιο Ποσειδάωνα κικλήσκων,
Μήποτ' ἔτι ξείνοισιν ἑκὼν ἀνιηρὸς ἔσεσθαι.
Καὶ σὺ μὲν ὕμνησαί μοι, ἄναξ· σὲ δὲ, Κάστορ, ἀείσω
Τυνδαρίδα, ταχύπωλε, δορυσσόε, χαλκεοθώραξ.

129 νῖκος. Coniectura Casauboni.

# PINDARI OLYMPIONICARVM III

## Τῷ Θήρωνι εἰς Θεοξένια

### STROPHE I.

Τυνδαρίδαις τε φιλοξείνοις ἁδεῖν,
καλλιπλοκάμῳ θ' Ἑλένᾳ,
κλεινὰν Ἀκράγαντα γεραίρων, εὔχομαι,
Θήρωνος ὀλυμπιονίκαν
ὕμνον ὀρθώσαις, ἀκαμαντοπόδων
ἵππων ἄωτον.
Μοῖσα δ' οὕτω ποι παρέσα
μοι, νεοσίγαλον εὑρόντι τρόπον,
Δωρίῳ φωνὰν ἐναρμόξαι πεδίλῳ

### ANTISTROPHE I.

ἀγλαόκωμον, ἐπεὶ χαίταισι μὲν
ζευχθέντες ἔπι στέφανοι
πράσσοντί με τοῦτο θεόδματον χρέος,
φόρμιγγά τε ποικιλόγαρυν,
καὶ βοὰν αὐλῶν, ἐπέων τε θέσιν
Αἰνησιδάμου
παιδὶ συμμίξαι πρεπόντως,
ἅ τε Πίσα με γεγωνεῖν, τᾶς ἄπο
θεύμοροι νίσσοντ' ἐπ' ἀνθρώπους ἀοιδαί,

EPO-

## EPODOS I.

ᾧτινι, κραίνων ἐφετμὰς
Ἡρακλέος προτέρας,
ἀτρεκὴς Ἑλλανοδίκας βλεφάρων
Αἰτωλὸς ἀνὴρ ὑψόθεν
ἀμφὶ κόμαισι βάλοι γλαυ-
κόχροα κόσμον ἐλαίας, τάν ποτε
Ἴστρου ἀπὸ σκιαρᾶν παγᾶν ἔνεικεν
Ἀμφιτρυωνιάδας,
μνᾶμα τῶν Οὐλυμπίᾳ κάλλιστον ἄθλων,

## STROPHE II.

δᾶμον Ὑπερβορέων πείσας, Ἀπόλ-
λωνος θεράποντα. Ὅγε,
πιστὰ φρονέων, Διὸς αἴτει πανδόκῳ
ἄλσει σκιαρόν τε φύτευμα,
ξυνὸν ἀνθρώποις στέφανόν τ᾽ ἀρετᾶς.
Ἤδη γὰρ αὐτῷ,
πατρὶ μὲν βωμῶν ἁγισθέν-
των, διχόμηνις ὅλον χρυσάρματος
ἑσπέρας ὀφθαλμὸν ἀντέφλεξε μήνα,

## ANTISTROPHE II.

καὶ μεγάλων ἀέθλων ἁγνὰν κρίσιν,
καὶ πενταετηρίδ᾽ ἁμᾶ
θῆκε ζαθέοις ἐπὶ κρημνοῖς Ἀλφεοῦ.
Ἀλλ᾽ οὐ καλὰ δένδρε᾽ ἔθαλλε
χῶρος ἐν βάσσαις Κρονίου Πέλοπος.
τούτων ἔδοξε
γυμνὸς αὐτῷ κᾶπος ὀξεί-

αις ὑπακȣέμεν αὐγαῖς Ἀλίȣ.
Δὴ τότ᾽ ἐς γαῖαν πορεύειν θυμὸς ὥρμαι-

### EPODOS II.

ν᾽ Ἰςρίαν νιν. Ἔνθα Λατȣ̃ς
ἱπποσόα θυγάτηρ
δέξατ᾽ ἐλθόντ᾽ Ἀρκαδίας ἀπὸ δει-
ρᾶν, καὶ πολυγνάμπτων μυχῶν·
εὖτέ μιν ἀγγελίαις Εὐ-
ρυσθέος ἔντυ᾽ ἀνάγκα πατρόθεν
χρυσόκερων ἔλαφον θήλειαν ἄξον-
θ᾽, ἅν ποτε Ταϋγέτα,
ἀντιθεῖσ᾽ Ὀρθωσίᾳ, ἔγραψεν ἱεράν.

### STROPHE III.

Τὰν μεθέπων ἴδε κἀκείναν χθόνα,
πνοιᾶς ὄπιθεν Βορέα
ψυχρȣ̃. Τόθι δένδρεα θαύμαινε ςαθείς,
τῶν νιν γλυκὺς ἵμερος ἔσχεν,
δωδεκάγναμπτον περὶ τέρμα δρόμȣ
ἵππων φυτεῦσαι.
Καὶ νῦν ἐς ταύταν ἑορτὰν
ἵλαος ἀντιθέοισι νίσσεται
σὺν βαθυζώνȣ διδύμοις παισὶ Λήδας.

### ANTISTROPHE III.

Τοῖς γὰρ ἐπέτραπεν, ἔλυμπονδ᾽ ἰών,
θαητὸν ἀγῶνα νέμειν,
ἀνδρῶν τ᾽ ἀρετᾶς πέρι, καὶ ῥιμφαρμάτȣ
διφρηλασίας. Ἐμὲ δ᾽ ὦν πᾳ

θυμὸς

θυμὸς ὀτρύνει φάμεν, Ἐμμενίδαις
Θήρωνί τ᾽ ἐλθεῖν
κῦδος, εὐΐππων διδόντων
Τυνδαριδᾶν· ὅτι πλείϛαισι βροτῶν
ξεινίαις αὐτὲς ἐποίχονται τραπέζαις,

EPODOS III.

εὐσεβεῖ γνώμᾳ φυλάσσον-
τες μακάρων τελετάς.
Εἰ δ᾽ ἀριϛεύει μὲν ὕδωρ, κτεάνων
δὲ χρυσὸς αἰδοιέϛατον·
νῦν γε πρὸς ἐσχατιὰν Θή-
ρων ἀρεταῖσιν ἱκάνων, ἅπτεται
οἴκοθεν Ἡρακλέος ϛηλᾶν. Τὸ πόρσω
δ᾽ ἔϛι σοφοῖς ἄβατον
κἀσόφοις· ȣ̓ μὴν διώξω· κεινὸς εἴην.

---

# PINDARI PYTHIONICARUM I

Ἱέρωνι Αἰτναίῳ Συρακουσίῳ ἅρματι

## STROPHE I.

Χρυσέα φόρμιγξ, Ἀπόλλω-
νος καὶ ἰοπλοκάμων
σύνδικον Μοισᾶν κτέανον,
τᾶς ἀκούει μὲν βάσις, ἀγλαΐας ἀρχά·
πείθονται δ' ἀοιδοὶ σάμασιν,
ἀγησιχόρων ὁπόταν τῶν φροιμίων
ἀμβολὰς τεύχῃς ἐλελιζομένα·
καὶ τὸν αἰχματὰν κεραυνὸν σβεννύεις
ἀενάου πυρός. Εὕ-
δει δ' ἀνὰ σκάπτῳ Διὸς αἰετὸς, ὠ-
κεῖαν πτέρυγ' ἀμφοτέρω-
θεν χαλάξαις,

## ANTISTROPHE I.

ἀρχὸς οἰωνῶν· κελαινῶ-
πιν δ' ἐπί οἱ νεφέλαν
ἀγκύλῳ κρατὶ, βλεφάρων
ἁδὺ κλαῖστρον, ἐγκατέχευας· ὁ δὲ κνώσσων
ὑγρὸν νῶτον αἰωρεῖ, τεαῖς
ῥιπαῖσι κατασχόμενος. Καὶ γὰρ βια-
τὰς Ἄρης, τραχεῖαν ἄνευθε λιπὼν
ἐγχέων ἀκμὰν, ἰαίνει καρδίαν
κώματι. Κῆλα δὲ καὶ
δαιμόνων θέλγει φρένας, ἀμφί τε Λα-
τοΐδα

τοῖδα σοφίᾳ, βαθυκόλ-
πων τε Μοισᾶν.

## EPODOS I.

Ὅσσα δὲ μὴ πεφίληκε
Ζεὺς, ἀτύζονται, βοὰν
Πιερίδων ἀΐοντα,
γᾶν τε καὶ πόντον κατ' ἀμαιμάκετον·
ὅς τ' ἐν αἰνᾷ ταρτάρῳ κεῖ-
ται, θεῶν πολέμιος,
Τυφὼς ἑκατοντακάρανος, τόν ποτε
Κιλίκιον θρέψεν πολυώ-
νυμον ἄντρον· νῦν γε μὰν
ταί θ' ὑπὲρ Κύμας ἁλιερκέες ὄχθαι
Σικελία τ' αὐτȣ̃ πιέζει
ςέρνα λαχνάεντα, κίων
δ' ȣ̓ρανία συνέχει,
νιφόεσσ' Αἴτνα, πάνετες
χιόνος ὀξείας τιθάνα,

## STROPHE II.

τᾶς ἐρεύγονται μὲν ἀπλά-
τȣ πυρὸς ἁγνόταται
ἐκ μυχῶν παγαὶ, ποταμοὶ
δ' ἁμέραισι μὲν προχέοντι ῥόον καπνȣ̃
αἴθων', ἀλλ' ἐν ὄρφναισι πέτρας
φοίνισσα κυλινδομένα φλὸξ ἐς βαθεῖ-
αν φέρει πόντȣ πλάκα σὺν παταγῳ·
κεῖνο δ' Ἁφαίςοιο κρȣνȣ̀ς ἑρπετὸν
δεινοτάτȣς ἀναπέμ-
πει, τέρας μὲν θαυμάσιον προσιδέ-

σθαι

σθαι, θαῦμα δὲ καὶ παριόν-
των ἀκοῦσαι,

ANTISTROPHE II.

οἷον Αἴτνας ἐν μελαμφύλ-
λοις δέδεται κορυφαῖς
καὶ πέδῳ, στρωμνὰ δὲ χαράσ-
σοισ᾽ ἅπαν νῶτον ποτικεκλιμένον κεντεῖ.
Εἴη, Ζεῦ, τὶν εἴη ἁνδάνειν,
ὃς τοῦτ᾽ ἐφέπεις ὄρος, εὐκάρποιο γαί-
ας μέτωπον, τοῦ μὲν ἐπωνυμίαν
κλεινὸς οἰκιστὴρ ἐκύδανε πόλιν
γείτονα. Πυθιάδος
δ᾽ ἐν δρόμῳ κάρυξ ἀνέειπέ νιν ἀγ-
γέλλων Ἱέρωνος ὕπερ
καλλινίκου

EPODOS II.

ἅρμασι. Ναυσιφορήτοις
δ᾽ ἀνδράσι πρῶτα χάρις,
ἐς πλόον ἐρχομένοις, πομ-
παῖον ἐλθεῖν οὖρον· ἐοικότα γὰρ,
κἀν τελευτᾷ φερτέρου νό-
στου τυχεῖν. Ὁ δὲ λόγος
ταύταις ἐπὶ συντυχίαις δόξαν φέρει,
λοιπὸν ἔσσεσθαι στεφάνοι-
σιν ἵπποισίν τε κλυτὰν,
καὶ σὺν εὐφώνοις θαλίαις ὀνομαστάν.
Λύκιε, καὶ Δάλου ἀνάσσων,
Φοῖβε, Παρνασοῦ τε κράναν
Κασταλίαν φιλέων,

ἐθελή-

ἐθελήσαις ταῦτα νόῳ
τιθέμεν, εὔανδρόν τε χώραν.

STROPHE III.

Ἐκ Θεῶν γὰρ μαχαναὶ πᾶ·
σαι βροτέαις ἀρεταῖς,
καὶ σοφοὶ, καὶ χερσὶ βια-
ταὶ, περίγλωσσοί τ' ἔφυν. Ἄνδρα δ' ἐγὼ κεῖνον
αἰνῆσαι μενοινῶν, ἔλπομαι,
μὴ χαλκοπάραον ἄκονθ' ὡσεὶ τ' ἀγῶ-
νος βαλεῖν ἔξω παλάμᾳ δονέων,
μακρὰ δὲ ῥίψας ἀμεύσασθ' ἀντίους.
Εἰ γὰρ ὁ πᾶς χρόνος ὄλ-
βον μὲν οὕτω καὶ κτεάνων δόσιν εὐ-
θύνοι, καμάτων δ' ἐπίλα-
σιν παράσχοι,

ANTISTROPHE III.

ἦ κεν ἀμμνάσειεν, οἵαις
ἐν πολέμοισι μάχαις
τλάμονι ψυχᾷ παρέμει-
ν', ἁνίχ' εὑρίσκοντο θεῶν παλάμαις τιμὰν,
οἵαν οὔτις Ἑλλάνων δρέπει,
πλούτου στεφάνωμ' ἀγέρωχον. Νῦν γε μὰν
τὰν Φιλοκτήταο δίκην ἐφέπων,
ἐστρατεύθη· σὺν δ' ἀνάγκᾳ μιν φίλον
καί τις ἐὼν μεγαλά-
νωρ ἔσανεν. Φαντὶ δὲ Λαμνόθεν ἕλ-
κει τειρόμενον μεταλλάσ-
σοντας ἐλθεῖν

EPODOS III.

ἥρωας ἀντιθέους Ποί-

αντος υἱὸν τοξόταν,
ὃς Πριάμοιο πόλιν πέρ-
σεν, τελεύτασέν τε πόνυς Δαναοῖς,
ἀσθενεῖ μὲν χρωτὶ βαίνων·
ἀλλὰ μοιρίδιον ἦν.
Οὕτω δ' Ἱέρωνί τις ὀρθωτὴρ πέλοι
τὸν προσέρποντα χρόνον, ὧν
ἔραται, καιρὸν διδὺς.
Μοῖσα, καὶ πὰρ Δεινομένει κελαδῆσαι
πείθεό μοι ποινὰν τεθρίππων·
χάρμα δ' ὐκ ἀλλότριον νι-
καφορία πατέρος.
Ἄγ', ἔπειτ' Αἴτνας βασιλεῖ
φίλιον ἐξεύρομεν ὕμνον.

STROPHE IV.

Τῷ πόλιν κείναν θεοδμά-
τῳ σὺν ἐλευθερίᾳ
Ὑλλίδος ςάθμας Ἱέρων
ἐν νόμοις ἔκτισσε. Θέλοντι δὲ Παμφύλυ
καὶ μὰν Ἡρακλειδᾶν ἔκγονοι,
ὄχθαις ὕπο Ταϋγέτυ ναίοντες, αἰ-
εὶ μένειν τεθμοῖσιν ἐν Αἰγιμιῦ
Δωριῆς· ἔσχον δ' Ἀμύκλας ὄλβιοι,
Πίνδοθεν ὀρνύμενοι,
λευκοπώλων Τυνδαριδᾶν βαθύδο-
ξοι γείτονες, ὧν κλέος ἄν-
θησεν αἰχμᾶς.

ANTISTROPHE IV.

Ζεῦ, τέλει, αἰεὶ δὲ τοιαύ-
ταν Ἀμένα παρ' ὕδωρ

αἶσαν ἀστοῖς καὶ βασιλεῦ-
σι, διακρίνειν ἔτυμον λόγον ἀνθρώπων.
Σύν τοι τίν κεν ἁγητὴρ ἀνὴρ
υἱῷ τ' ἐπιτελλόμενος δᾶμόν τε γέ-
ρων τράποι σύμφωνον ἐφ' ἡσυχίαν.
Λίσσομαι, νεῦσον, Κρονίων, ἅμερον
ὄφρα κατ' οἶκον ὁ Φοί-
νιξ ὁ Τυρσανῶν τ' ἀλαλατὸς ἔχῃ,
ναυσίστονον ὕβριν ἰδὼν,
τὰν πρὸ Κύμας,

EPODOS IV.

οἷα Συρακοσίων ἀρ-
χῷ δαμασθέντες πάθον,
ὠκυπόρων ἀπὸ ναῶν,
ὅς σφιν ἐν πόντῳ βάλεθ' ἁλικίαν,
Ἑλλάδ' ἐξέλκων βαρείας
δουλείας. Ἐλέομαι
πὰρ μὲν Σαλαμῖνος Ἀθηναίων χάριν
μισθόν· ἐν Σπάρτᾳ δ' ἐρέω
πρὸ Κιθαιρῶνος μάχαν,
ταῖσι Μήδειοι κάμον ἀγκυλότοξοι·
πὰρ δέ γε τὰν εὔυδρον ἀκτὰν
Ἱμέρα παίδεσσιν ὕμνον
Δεινομένευς τελέσαις,
τὸν ἐδέξαντ' ἀμφ' ἀρετᾷ,
πολεμίων ἀνδρῶν καμόντων.

STROPHE V.

Καιρὸν εἰ φθέγξαιο, πολλῶν
πείρατα συντανύσαις
ἐν βραχεῖ· μείων ἕπεται

μῶμος ἀνθρώπων. Ἀπὸ γὰρ κόρος ἀμβλύνει
αἰανὴς ταχείας ἐλπίδας·
ἀστῶν δ' ἀκοὰ κρύφιον θυμὸν βαρύ-
νει μάλιστ' ἐσλοῖσιν ἐπ' ἀλλοτρίοις.
Ἀλλ' ὅμως, (κρέσσων γὰρ οἰκτιρμῶν φθόνος)
μὴ παρίεις καλὰ, νώ-
μα δικαίῳ πηδαλίῳ στρατὸν, ἀ-
ψευδεῖ δὲ πρὸς ἄκμονι χάλ-
κευε γλῶσσαν.

ANTISTROPHE V.

Εἴ τι καὶ φλαῦρον παραιθύσ-
σει, μέγα τοι φέρεται
πὰρ σέθεν. Πολλῶν ταμίας
ἐσσὶ, πολλοὶ μάρτυρες ἀμφοτέροις πιστοί.
Εὐανθεῖ δ' ἐν ὀργᾷ παρμένων,
εἴπερ τι φιλεῖς ἀκοὰν ἁδεῖαν ἀ-
εὶ κλύειν, μὴ κάμνε λίαν δαπάναις,
ἐξίει δ' ὥσπερ κυβερνάτας ἀνὴρ
ἱστίον ἀνεμόεν.
Μὴ δολωθῇς, ὦ φίλε, κέρδεσιν εὐτρα-
πέλοις· ὀπιθόμβροτον αὔ-
χημα δόξας

EPODOS V.

οἶον ἀποιχομένων ἀν-
δρῶν δίαιταν μανύει
καὶ λογίοις καὶ ἀοιδαῖς.
Οὐ φθινεῖ Κροίσου φιλόφρων ἀρετά·
τὸν δὲ ταύρῳ χαλκέῳ καυ-

τῆρα

τῆρα νηλέα νόον
ἐχθρὰ Φάλαριν κατέχει παντᾷ φάτις,
οὐδέ μιν φόρμιγγες ὑπω-
ρόφιαι κοινωνίαν
μαλθακὰν παίδων ὀάροισι δέχονται.
Εὖ δὲ παθεῖν τὸ πρῶτον ἀέθλων·
εὖ δ' ἀκούειν δευτέρα μοῖ-
ρ'· ἀμφοτέροισι δ' ἀνὴρ
ὃς ἂν ἐγκύρσῃ, καὶ ἕλῃ,
στέφανον ὕψιστον δέδεκται.

# DE RAPTV HYLAE
## E PRIMO LIBRO ARGONAVTICORVM APOLLONII RHODII

Τῆμος ἄρ' οἵγ' ἀφίκοντο Κιανίδος ἤθεα γαίης,
Ἀμφ' Ἀργανθώνειον ὄρος προχοάς τε Κίοιο.
Τοὺς μὲν ἐυξείνως Μυσοὶ φιλότητι κιόντας
Δειδέχατ', ἐνναέται κείνης χθονὸς, ἤϊά τέ σφι,
Μῆλά τε δευομένοις, μέθυ τ' ἄσπετον ἐγγυάλιξαν.
Ἔνθα δ' ἔπειτ' οἱ μὲν ξύλα κάγκανα, τοὶ δὲ λεχαίην
Φυλλάδα λειμώνων φέρον ἄσπετον ἀμήσαντες
Στόρνυσθαι· τοὶ δ' ἀμφὶ πυρήϊα δινεύεσκον,
Οἱ δ' οἶνον κρητῆρσι κέρων, πονέοντό τε δαῖτα,
Ἐκβασίῳ ῥέξαντες ὑπὸ κνέφας Ἀπόλλωνι.
Αὐτὰρ ὁ δαίνυσθαι ἑτάροις εὖ οἷς ἐπιτείλας
Βῆ ῥ' ἴμεν εἰς ὕλην υἱὸς Διὸς, ὥς κεν ἐρετμὸν
Οἷ αὐτῷ φθαίη καταχείριον ἐντύνασθαι.
Εὗρεν ἔπειτ' ἐλάτην ἀλαλήμενος, οὔτε τι πολλοῖς
Ἀχθομένην ὄζοις, οὐδὲ μέγα τηλεθόωσαν.
Ἀλλ' οἷον ταναῆς ἔρνος πέλει αἰγείροιο,
Τόσση ὁμῶς μῆκός τε καὶ ἐς πάχος ἦεν ἰδέσθαι.
Ῥίμφα δ' ὀϊστοδόκην μὲν ἐπὶ χθονὶ θῆκε φαρέτρην
Αὐτοῖσιν τόξοισιν, ἔδυ δ' ἄπο δέρμα λέοντος.
Τὴν δ' ὅγε χαλκοβαρεῖ ῥοπάλῳ δαπέδοιο τινάξας
Νειόθεν ἀμφοτέρῃσι περὶ στύπος ἔλλαβε χερσὶν,
Ἠνορέῃ πίσυνος, ἐν δὲ πλατὺν ὦμον ἔρεισεν,

Εὖ διαβὰς, πεδόθεν δὲ βαθύῤῥιζόν περ ἐοῦσαν
Προσφὺς ἐξήειρε σὺν αὐτοῖς ἔχμασι γαίης.
Ὡς δ' ὅταν ἀπροφάτως ἱστὸν νεὸς, εὖτε μάλιστα
Χειμερίη ὀλοοῖο δύσις πέλει Ὠρίωνος,
Ὑψόθεν ἐμπλήξασα θοὴ ἀνέμοιο καταῖξ
Αὐτοῖσι σφήνεσσιν ὑπὲκ προτόνων ἐρύσηται·
Ὣς ὅγε τὴν ἤειρεν, ὁμοῦ δ' ἀνὰ τόξα καὶ ἰοὺς
Δέρμα θ' ἑλὼν ῥόπαλόν τε παλίσσυτος ὦρτο νέεσθαι.
Τόφρα δ' Ὕλας χαλκῇ σὺν κάλπιδι νόσφιν ὁμίλου
Δίζητο κρήνης ἱερὸν ῥόον, ὥς καί οἱ ὕδωρ
Φθαίη ἀφυσσάμενος ποτιδόρπιον, ἄλλα τε πάντα
Ὠτραλέως κατὰ κόσμον ἐπαρτίσσειεν ἰόντι.
Δὴ γάρ μιν τοίοισιν ἐν ἤθεσιν αὐτὸς ἔφερβε
Νηπιάχοντα, πρῶτα δόμων ἐκ πατρὸς ἀπούρας
Δίου Θειοδάμαντος, ὃν ἐν Δρυόπεσσιν ἔπεφνεν
Νηλειῶς, βοὸς ἀμφὶ γεωμόρου ἀντιόωντα.
Ἤτοι ὁ μὲν νειοῖο γύας τέμνεσκεν ἀρότρῳ
Θειοδάμας, ἀνίῃ βεβολημένος· αὐτὰρ ὁ τόνγε
Βοῦν ἀρότην ἤνωγε παρασχέμεν οὐκ ἐθέλοντα.
Ἵετο γὰρ πρόφασιν πολέμου Δρυόπεσσι βαλέσθαι
Λευγαλέην, ἐπεὶ οὔτι δίκης ἀλέγοντες ἔναιον.
Ἀλλὰ τὰ μὲν τηλοῦ ἀποπλάγξειεν ἀοιδῆς.
Αἶψα δ' ὅγε κρήνην μετεκίαθεν, ἣν καλέουσιν
Πηγὰς ἀγχίγυοι περιναιέται. Οἱ δέ που ἄρτι



1201 ἀπροφάτως, ἀθρόως.

Νυμφάων ἵσταντο χοροί· μέλε γάρ σφισι πάσαις,
Ὅσσαι κεῖσ' ἐρατὸν Νύμφαι ῥόον ἀμφενέμοντο,
Ἄρτεμιν ἐννυχίῃσιν ἀεὶ μέλπεσθαι ἀοιδαῖς·
Αἱ μὲν, ὅσαι σκοπιὰς ὀρέων λάχον, ἢ καὶ ἐναύλους,
Αἵγε μὲν ὑλήωροι ἀπόπροθεν ἐστιχόωντο.
Ἡ δὲ νέον κρήνης ἀνεδύετο καλλινάοιο
Νύμφη Ἐφυδατίη, τὸν δὲ σχεδὸν εἰσενόησε,
Κάλλει καὶ γλυκερῇσιν ἐρευθόμενον χαρίτεσσιν·
Πρὸς γάρ οἱ διχόμηνις ἀπ' αἰθέρος αὐγάζουσα
Βάλλε σεληναίη. Τῆς δὲ φρένας ἐπτοίησεν
Κύπρις, ἀμηχανίῃ δὲ μόγις συναγείρατο θυμόν.
Αὐτὰρ ὅγ', ὡς τὰ πρῶτα ῥόῳ ἔνι κάλπιν ἔρεισε,
Λέχρις ἐπιχριμφθεὶς, περὶ δ' ἄσπετον ἔβραχεν ὕδωρ,
Χαλκὸν ἐς ἠχήεντα φορεύμενον· αὐτίκα δ' ἥγε
Λαιὸν μὲν καθύπερθεν ἐπ' αὐχένος ἄνθετο πῆχυν,
Κῦσαι ἐπιθύουσα τέρεν στόμα, δεξιτερῇ δὲ
Ἀγκῶν' ἔσπασε χειρὶ, μέσῃ δ' ἐνικάββαλε δίνῃ.
Τοῦ δ' ἥρως ἰάχοντος ἐπέκλυεν οἶος ἑταίρων
Εἰλατίδης Πολύφημος, ἰὼν προτέρωσε κελεύθου·

Δέκτο

1226 ἐναύλους, τὰ σπήλαια νῦν.
1231 διχόμηνις, πανσέληνος.
1235 Λε. ἐπ. πλαγίως πρὸς τὴν κρήνην ἐπικλιθείς.

Δέκτο γὰρ Ἡρακλῆα πελώριον, ὁππόθ' ἵκοιτο.
Βῆ δὲ μεταΐξας πηγέων σχεδὸν, ἠΰτε τις θὴρ
Ἄγριος, ὅν ῥά τε γῆρυς ἀπόπροθεν ἵκετο μήλων,
Λιμῷ δ' αἰθόμενος μετανίσσεται, οὐδ' ἐπέκυρσε
Ποίμνῃσιν· πρὸ γὰρ αὐτοὶ ἐνὶ σταθμοῖσι νομῆες
Ἔλσαν, ὁ δὲ στενάχων βρέμει ἄσπετον, ὄφρα κάμῃσιν.
Ὣς τότ' ἄρ' Εἰλατίδης μεγάλ' ἔστενεν, ἀμφὶ δὲ χῶρον
Φοίτα κεκληγὼς, μελέη δέ οἱ ἔπλετο φωνή·
Αἶψα δ' ἐρυσσάμενος μέγα φάσγανον ὦρτο νέεσθαι,
Μή πως ἢ θήρεσσιν ἕλωρ πέλοι, ἠέ μιν ἄνδρες
Μοῦνον ἐόντ' ἐλόχησαν, ἄγουσι δὲ ληΐδ' ἑτοίμην.
Ἔνθ' αὐτῷ ξύμβλητο κατὰ στίβον Ἡρακλῆϊ,
Γυμνὸν ἐπαΐσσων παλάμῃ ξίφος· εὖ δέ μιν ἔγνω
Σπερχόμενον μετὰ νῆα διὰ κνέφας, αὐτίκα δ' ἄτην
Ἔκφατο λευγαλέην, βεβαρημένος ἄσθματι θυμόν.
Δαιμόνιε, στυγερόν τοι ἄχος πάμπρωτον ἐνίψω,
Οὐ γὰρ Ὕλας, κρήνηνδε κιὼν, σόος αὖτις ἱκάνει,
Ἀλλά ἑ λῃϊστῆρες ἐνιχρίμψαντες ἄγουσιν,
Ἢ θῆρες σίνονται· ἐγὼ δ' ἰάχοντος ἄκουσα.
Ὣς φάτο, τῷ δ' ἀΐοντι κατὰ κροτάφων ἅλις ἱδρὼς
Κήκιεν, ἐν δὲ κελαινὸν ὑπὸ σπλάγχνοις ζέεν αἷμα,

Χωόμενος δ' ἐλάτην χαμάδις βάλεν, ἐς δὲ κέλευθον
Τὴν θέεν, ᾗ πόδες αὐτὸν ὑπέκφερον ἀΐσσοντα.
Ὡς δ' ὅτε τίς τε μύωπι τετυμμένος ἔσσυτο ταῦρος,
Πίσεά τε προλιπὼν καὶ ἐλεσπίδας, οὐδὲ νομήων,
Οὐδ' ἀγέλης ὄθεται, πρήσσει δ' ὁδὸν, ἄλλοτ' ἄπαυστος,
Ἄλλοτε δ' ἱστάμενος, καὶ ἀνὰ πλατὺν αὐχέν' ἀείρων
Ἵησιν μύκημα, κακῷ βεβολημένος οἴστρῳ·
Ὡς ὅγε μαιμώων ὁτὲ μὲν θοὰ γένατ' ἔπαλλεν
Συνεχέως, ὁτὲ δ' αὖτε μεταλλήγων καμάτοιο
Τῆλε διαπρύσιον μεγάλῃ βοάασκεν αὐτῇ.
Αὐτίκα δ' ἀκροτάτας ὑπερέσχεθεν ἄκριας ἀστὴρ
Ἠῷος, πνοιαὶ δὲ κατήλυθον, ὦκα δὲ Τῖφυς
Ἐσβαίνειν ὀρόθυνεν, ἐπαυρέσθαι τ' ἀνέμοιο.
Οἱ δ' εἴσβαινον ἄφαρ λελιημένοι, ὕψι δὲ νηὸς
Εὐναίας ἐρύσαντες ἀνεκρέσαντο κάλωας,
Κυρτώθη δ' ἀνέμῳ λίνα μεσσόθι, τῆλε δ' ἀπ' ἀκτῆς
Γηθόσυνοι φορέοντο παραὶ Ποσιδήϊον ἄκρην.
Ἦμος δ' οὐρανόθεν χαροπὴ ὑπολάμπεται ἠὼς,
Ἐκ περάτης ἀνιοῦσα, διαγλαύσσουσι δ' ἀταρποὶ,
Καὶ πεδία δροσόεντα φαεινὴ λάμπεται αἴγλη,
Τῆμος τοὺς δ' ἐνόησαν ἀϊδρίῃσι λιπόντες.

1266 πίσεα, τοὺς συμφύτους, ἢ ἑλώδεις καὶ πηλώδεις τόπους. Ἐλεσπίδας, τοὺς πετρώδεις.

Oll. II p. 836 Ol. III 554 ... p. 429
Olynth. III. 543.

Veterum oratorum graecorum orationes integrae selectae, una cum earundem versione latina. Cura I. J. Schroederi. Marburgi 1734. 8.

366. 8. ... 1782 ... 2

... 2. S. 606

... 1802 S. 1463

52 *4 / J' 35

ULB Halle 3
007 104 960

VD18

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-794796-p0043-4

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-794796-p0044-9

# EXCERPTA

E

POETIS GRAECIS

*LIPSIAE*

EX OFFICINA LANGENHEMIA

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-794796-p0045-5